23 Ιουλίου 2017

# Ασματική ακολουθία αγ. Μεγαλομάρτυρος Ξενίας της εκ Καλαμών

/ Πεμπτουσία

Image not found or type unknown



ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ*. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς ἑορτῆς γ΄ καὶ τῆς Ἁγίας γ΄.

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Φιλεόρτων συστήματα, εὐσεβῶς συνελθόντες νῦν, ἐν ψαλμοῖς καὶ ὕμνοις ἀνευφημήσωμεν, Χριστοῦ τὴν νύμφην τὴν ἄσπιλον, Ξενίαν τὴν πάνσεμνον, τῶν παρθένων καλλονήν, καὶ Μαρτύρων ἀγλάϊσμα, τὴν ἀείρροον, τῶν θαυμάτων τὴν βρύσιν, τὴν δροσίζουσα αὐτῇ τοὺς προσιόντας, ψυχῆς ἐκ βάθους ἑκάστοτε.

Πρὸ τυράννων τοῦ βήματος, παραστᾶσα κατέπληξας, τῇ στερρᾷ ἐνστάσει σου καλλιπάρθενε, τοὺς ἐναντίους καὶ ὤλεσας, Ξενία πανεύφημε, τῇ δυνάμει τοῦ Σταυροῦ, τῶν δαιμόνων τὰς φάλαγγας· ὅθεν εἴληφας, πρὸς Χριστοῦ τοῦ Σωτῆρος νίκης στέφος, ᾧ πρεσβεύουσα μὴ παύσῃ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Τοῖς στεῤῥοῖς σου παλαίσμασι, τὸν ἐχθρὸν καταβέβληκας, καὶ Χριστῷ παρίστασαι τῷ Νυμφίῳ σου, Ὅς καὶ ἰσχὺν σοι δεδώρηται, Ξενία πανεύφημε, τῶν σῶν πόνων ἀμοιβήν, ἀπελαύνειν τοὺς δαίμονας, καὶ βουλεύματα, φθονερῶν ἀφανίζειν Ἀθληφόρε, καὶ κινδύνων ἐκλυτροῦσθαι, τοὺς σὴν αἰτοῦντας ἀντίληψιν.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε οἱ φιλέορτοι πάντες, λαμπροφοροῦντες ἐν τῇ σεπτῇ τῆς Ἀθληφόρου Ξενίας μνήμῃ, ὕμνοις καὶ ᾠδαῖς πανηγυρίσωμεν. Αὕτη γάρ, ἀντὶ θνητοῦ ἐραστοῦ, πόθῳ προέκρινεν ἀθάνατον, τὸν Σωτῆρα Χριστόν, Ὃν ἐκήρυττεν· ὅθεν, νῦν σὺν ταῖς φρονίμοις παρθένοις καὶ τῶν Μαρτύρων τοῖς θεοστέπτοις χοροῖς, συμβασιλεύει αἰωνίως Αὐτῷ, ἰάματα τοῖς πᾶσι προχέουσα, τοῖς εἰλικρινῶς αὐτῇ προσιοῦσι, καὶ τὸν μεγαλύναντα αὐτὴν Κύριον, ἐν πίστει ἀνυμνοῦσι, καὶ πρεσβεύει ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Ἀναγνώσματα.

Για την ακολουθία πατήστε εδώ